ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΣ.

DESCRIPTION DE LA GRÈCE

DE PAUSANIAS.

TOME SECOND.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΣ.

DESCRIPTION DE LA GRÈCE

DE PAUSANIAS.

TRADUCTION NOUVELLE

AVEC LE TEXTE GREC COLLATIONNÉ SUR LES MANUSCRITS DE LA BIBLIOTHÈQUE DU ROI,

PAR M. CLAVIER,

Membre de l'Institut et Professeur au Collège Royal de France.

DÉDIÉ AU ROI.

PARIS,

J.-M. EBERHART, IMPRIMEUR DU COLLÉGE ROYAL DE FRANCE

RUE DU FOIN SAINT-JACQUES, N. 12.

1817.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΣ.

ΛΑΚΩΝΙΚΑ.

DESCRIPTION

DE LA GRÈCE,

Par PAUSANIAS.

LACONIE.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΛΑΚΩΝΙΚΑ.

ΚΕΦΑΛΑΙΟΝ Α.

Λέλεξ. Εὐρώτας. Λακεδαίμων. Ὑακίνθου μνῆμα. Τυνδάρεως. Ἀριστοδήμου παῖδες. Θήρας.

ΜΕΤΑ δὲ τοὺς Ἑρμᾶς ἐστιν ἡ Λακωνικὴ τὰ πρὸς ἑσπέραν [a]. Ὡς δὲ αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λέλεξ αὐτόχθων ὢν ἐβασίλευσε πρῶτος ἐν τῇ γῇ ταύτῃ, καὶ ἀπὸ τούτου Λέλεγες, ὧν ἦρχεν, ὠνομάσθησαν. Λέλεγος δὲ γίνεται Μύλης, καὶ νεώτερος Πολυκάων. Πολυκάων μὲν δὴ ὅποι καὶ δι' ἥντινα αἰτίαν ἀπεχώρησεν, ἑτέρωθι δηλώσω. Μύλητος δὲ τελευτήσαντος, παρέλαβεν ὁ παῖς Εὐρώτας τὴν ἀρχήν. Οὗτος τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῷ πεδίῳ διώρυγι κατήγαγεν ἐπὶ θάλασσαν· ἀποῤῥυέντος δὲ (ἦν γὰρ δὴ τὸ ὑπόλοιπον ποταμοῦ ῥεῦμα), ὠνόμασεν Εὐρώταν. Ἄτε δὲ οὐκ ὄντων αὐτῷ παίδων ἀῤῥένων, βασιλεύειν κατα-

[a] Ἑσπέρας.

DESCRIPTION

DE LA GRÈCE,

PAR PAUSANIAS.

LIVRE III. LACONIE.

CHAPITRE I.

Lélex. Eurotas. Lacédémon. Tombeau d'Hyacinthe. Tyndarée. Les fils d'Aristodème. Théras.

APRÈS les Hermès, se présente, au couchant, la Laconie. Les Lacédémoniens disent eux-mêmes que Lelex Autochthon fut le premier roi de ce pays, et ses sujets prirent de lui le nom de Léléges. Il eut deux fils, Mylès et Polycaon : je dirai dans la suite pourquoi celui-ci, qui étoit le plus jeune quitta ce pays, et où il se retira. Mylès étant mort, Eurotas son fils monta sur le trône, et fit creuser un canal pour conduire à la mer l'eau qui étoit stagnante dans la plaine : une partie de cette eau s'écoula ; le reste forma un fleuve, qu'il nomma l'Eurotas. Privé d'enfants mâles, il laissa son royaume à Lacédémon, qui avoit

pour mère Taygète dont la montagne a pris le nom : et pour père, Jupiter, suivant l'opinion commune. Lacédémon avoit épousé Sparte, fille d'Eurotas. Lorsqu'il fut monté sur le trône, il changea d'abord le nom du pays et de ses habitants, en leur faisant prendre le sien. Il fonda ensuite une ville, et, lui imposant le nom de sa femme, l'appela Sparte : c'est celui que cette cité porte encore. Amyclas, fils de Lacédémon, voulant aussi laisser quelque mémoire de son nom, fonda la ville d'Amycles dans la Laconie. Il eut plusieurs fils : Hyacinthus, le plus jeune, étoit d'une très-grande beauté, et mourut avant son père. Son tombeau est à Amycles, sous la statue d'Apollon. Amyclas étant mort, la couronne échut à Argalus, l'aîné de ses fils, et après lui à Cynortas. Œbalus, fils de Cynortas, épousa Gorgophone, fille de Persée, roi d'Argos, il en eut Tyndarée, à qui le thrône fut disputé par Hippocoon, qui s'y disoit appelé par droit d'aînesse. Icarius et ses partisans s'étant réunis à Hippocoon, il se trouva bien supérieur en forces à

λείπει Λακεδαίμονα, μητρὸς μὲν Ταϋγέτης ὄντα, ἀφ' ἧς καὶ τὸ ὄρος ὠνομάσθη, ἐς Δία δὲ πατέρα ἀνήκοντα κατὰ τὴν φήμην. Συνῴκει δὲ ὁ Λακεδαίμων Σπάρτῃ θυγατρὶ τοῦ Εὐρώτα. Τότε δὲ, ὡς ἔσχε τὴν ἀρχὴν, πρῶτον μὲν τῇ χώρᾳ καὶ τοῖς ἀνθρώποις μετέθετο ἀφ' αὑτοῦ τὰ ὀνόματα. Μετὰ δὲ τοῦτο ᾠκισέ [a] τε καὶ ὠνόμασεν ἀπὸ τῆς γυναικὸς πόλιν, ἣ Σπάρτη καλεῖται καὶ ἐς ἡμᾶς. Ἀμύκλας δὲ ὁ Λακεδαίμονος, βουλόμενος ὑπολιπέσθαι τι καὶ αὐτὸς ἐς μνήμην, πόλισμα ἔκτισεν ἐν τῇ Λακωνικῇ. Γενομένων δέ οἱ παίδων, Ὑακινθον μὲν νεώτατον ὄντα καὶ τὸ εἶδος κάλλιστον κατέλαβεν ἡ πεπρωμένη πρότερον τοῦ πατρός. Καὶ Ὑακίνθου μνῆμά ἐστιν ἐν Ἀμύκλαις ὑπὸ τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος. Ἀποθανόντος δὲ Ἀμύκλα, ἐς Ἄργαλον τὸν πρεσβύτατον τῶν Ἀμύκλα παίδων, καὶ ὕστερον ἐς Κυνόρταν, Ἀργάλου τελευτήσαντος, ἀφίκετο ἡ ἀρχή. Κυνόρτα δὲ ἐγένετο Οἴβαλος. Οὗτος Γοργοφόνην τε τὴν Περσέως γυναῖκα ἔσχεν ἐξ Ἄργους, καὶ παῖδα ἔσχε Τυνδάρεων, ᾧ περὶ τῆς βασιλείας Ἱπποκόων ἠμφισβήτει, καὶ κατὰ πρεσβείαν ἔχειν ἠξίου τὴν ἀρχήν. Προσλαβὼν δὲ Ἰκάριον καὶ τοὺς σασιώτας παρὰ πολύ τε ὑπερεβάλετο δυνάμει Τυνδάρεων, καὶ ἠνάγκασεν ἀπο-

[a] Ὤκησε.

χωρῆσαι δείσαντα, ὡς μὲν Λακεδαιμόνιοί φασιν, ἐς Πελλάναν· Μεσσηνίων δέ ἐσιν ἐς αὐτὸν λόγος, Τυνδάρεων φεύγοντα ἐλθεῖν ὡς Ἀφαρέα ἐς τὴν Μεσσηνίαν, εἶναί τε Ἀφαρέα τὸν Περιήρους, ἀδελφὸν Τυνδάρεω πρὸς μητρός· καὶ οἰκῆσαί τε αὐτὸν τῆς Μεσσηνίας φασὶν ἐν Θαλάμαις, καὶ τοὺς παῖδας ἐνταῦθα οἰκοῦντι αὐτῷ γενέσθαι. Χρόνῳ δὲ ὕσερον κατῆλθέ τε ὑπὸ Ἡρακλέους Τυνδάρεως, καὶ ἀνενεώσατο τὴν ἀρχήν· ἐβασίλευσαν δὲ καὶ οἱ Τυνδάρεω παῖδες, καὶ Μενέλαος ὁ Ἀτρέως, Τυνδάρεω γαμβρὸς ὢν, Ὀρέσης τε Ἑρμιόνῃ τῇ Μενελάου συνοικῶν. Κατελθόντων δὲ Ἡρακλειδῶν ἐπὶ Τισαμενοῦ τοῦ Ὀρέσου βασιλεύοντος, Μεσσήνη μὲν καὶ Ἄργος, ἑκατέρα μοῖρα Τήμενον, ἡ δὲ Κρεσφόντην ἔσχεν ἄρχοντας. Ἐν Λακεδαιμονίᾳ δὲ ὄντων διδύμων τῶν Ἀριςοδήμου παίδων, οἰκίαι δύο βασίλειοι [a] γίνονται· συναρέσαι γὰρ τῇ Πυθίᾳ φασίν. Ἀριςοδήμῳ δὲ αὐτῷ πρότερον τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐν Δελφοῖς, πρὶν ἢ Δωριέας κατελθεῖν ἐς Πελοπόννησον. Οἱ μὲν δὴ ἀποσεμνύνοντες τὰ ἐς αὐτὸν τοξευθῆναι λέγουσιν Ἀριςόδημον ὑπὸ Ἀπόλλωνος, ὅτι οὐκ ἀφίκοιτο ἐπὶ τὸ μαντεῖον, παρὰ δὲ Ἡρακλέους ἐντυχόντος οἱ πρότερον πύθοιτο, ὡς ἐς Πελοπόννησον Δωριεῦσι γενήσεται ἥδε [b] ἡ κάθοδος. Ὁ δὲ

[a] Βασίλειαι. [b] Ἴσ. ἥδη.

Tyndarée, qui prit l'épouvante et s'enfuit à Pellane, si l'on en croit les Lacédémoniens. Mais, suivant les Messéniens, il se réfugia dans la Messénie, chez Apharée, son frère utérin, et fils de Périérès. Il s'établit, ajoutent-ils, à Thalames dans la Messénie, et tous ses enfants naquirent durant son séjour dans cette ville. Il fut ramené dans la suite à Lacédémone par Hercules, et il recouvra son royaume. Les fils de Tyndarée régnèrent après lui; ils eurent pour successeurs, Ménélas, fils d'Atrée, qui avoit épousé une fille de Tyndarée, et Orestes qui étoit marié à Hermione, fille de Ménélas. Les Héraclides étant revenus dans le Péloponnèse, sous le règne de Tisamène, fils d'Orestes, Argos et Messène échurent, l'une à Téménus, l'autre à Cresphontes; quant à Lacédémone, comme Aristodème avoit laissé deux fils jumeaux, il y eut deux familles régnantes, la Pythie l'ayant ainsi décidé. Aristodème étoit mort à Delphes avant la rentrée des Doriens, dans le Péloponnèse. Ceux qui veulent illustrer sa mémoire, disent qu'il fut tué à coups de flèches par Apollon, parce que se rendant à l'oracle de ce dieu, et ayant d'abord rencontré Hercules, il s'en étoit rapporté à ce héros sur les moyens de ramener les Doriens dans le Péloponnèse; mais la vérité

est qu'Aristodème fut tué par les fils de Pylades et d'Électre, cousins germains de Tisamène, fils d'Orestes. Les fils d'Aristodème se nommoient Eurysthènes et Proclès; et quoique jumeaux, ils étoient toujours en différend. Cette animosité fut poussée très-loin, ils n'en contribuèrent cependant pas moins d'un commun accord à l'envoi de la colonie, qui partit avec Théras, autre fois leur tuteur, fils d'Autésion, et frère d'Argie, leur mère, Théras conduisit cette colonie dans l'île nommée alors Callisté, espérant que les descendants de Membliarus lui céderoient de bonne volonté la souveraineté de cette île, ce qu'ils firent en effet, par la raison que Théras descendoit de Cadmus, tandis qu'ils ne tenoient eux mêmes leur origine que de Membliarus, homme du peuple, jadis laissé pour chef par Cadmus à ces nouveaux insulaires. Théras substitua son propre nom à celui de Callisté que portoit cette île, et les Théréens lui sacrifient encore maintenant comme à leur fondateur. Proclès et Eurysthènes furent bien d'accord, tant qu'il ne s'agit que de témoigner de la bonne volonté à Théras; mais pour tout le reste, ils furent divisés d'opinions. Lors même qu'ils se seroient parfaitement accordés, je ne pourrois pas comprendre leurs descendants dans une même liste; ils ne se trouvèrent pas en effet tellement

ἀληθέστερος ἔχει λόγος, Πυλάδου τοὺς παῖδας καὶ Ἠλέκτρας, ἀνεψιοὺς ὄντας Τισαμενῷ τῷ Ὀρέστου, φονεῦσαι τὸν Ἀριστόδημον. Ὀνόματα μὲν δὴ τοῖς παισὶν αὐτοῦ Προκλῆς καὶ Εὐρυσθένης ἐτέθη· δίδυμοι δὲ ὄντες διάφοροι τὰ μάλιστα ἦσαν. Προελθόντες δὲ ἐπὶ μέγα ἀπεχθείας, ὅμως ἐν κοινῷ Θήρᾳ τῷ Αὐτεσίωνος, ἀδελφῷ τῆς μητρὸς σφῶν ὄντι Ἀργείας, ἐπιτροπεύσαντι δὲ καὶ αὐτῶν, συνῆραντο ἐς ἀποικίαν. Τὴν δὲ ἀποικίαν ὁ Θήρας ἔξελλεν ἐς τὴν νῆσον, τὴν τότε ὀνομαζομένην Καλλίστην, τοὺς ἀπογόνους οἱ τοῦ Μεμβλιάρου παραχωρήσεσθαι τῆς βασιλείας ἐλπίζων ἑκόντας. Ὅπερ οὖν καὶ ἐποίησαν, λαβόντες λογισμὸν, ὅτι Θήρᾳ μὲν ἐς αὐτὸν ἀνήει Κάδμον τὸ γένος, οἱ δὲ ἦσαν ἀπόγονοι Μεμβλιάρου. Μεμβλίαρον δὲ, ἄνδρα ὄντα τοῦ δήμου, Κάδμος ἐν τῇ νήσῳ κατέλιπεν ἡγεμόνα εἶναι τῶν ἐποίκων. Καὶ Θήρας μὲν τῇ τε νήσῳ μετέβαλεν ἀφ' ἑαυτοῦ τὸ ὄνομα, καί οἱ καὶ νῦν ἔτι οἱ Θηραῖοι κατὰ ἔτος ἐναγίζουσιν ὡς οἰκιστῇ. Προκλεῖ δὲ καὶ Εὐρυσθένει, μέχρι μὲν τῆς προθυμίας τῆς ἐς τὸν Θήραν, ἐς τὸ αὐτὸ συνῆλθον αἱ γνῶμαι. Τὰ δὲ λοιπὰ διειστήκει σφίσιν ἐπὶ πάντα τὰ βουλεύματα. Οὐ μὴν οὐδὲ ὁμονοησάντων τοὺς ἀπογόνους αὐτῶν ἐς κοινὸν κατάλογον ὑπάξειν

ἔμελλον· οὐ γάρ τοι [a] τὰ πάντα ἐς τὸ αὐτὸ συνελήλυθασιν ἡλικίας, ὡς ἀνεψιόν τε ἀνεψιῷ καὶ ἀνεψιῶν παῖδας, ὡσαύτως δὲ καὶ τοὺς κατωτέρω κατὰ ἀριθμὸν τυχεῖν ἀλλήλοις γεγονότας τὸν ἴσον. Ἑκατέραν οὖν τὴν οἰκίαν ἐπέξειμι αὐτῶν ἰδίως, καὶ οὐκ ἀμφοτέρας ἅμα ἐς τὸ αὐτὸ ἀναμίξας.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἄγις καὶ οἱ Ἀγίδαι. Κυνουρεῖς. Λυκοῦργος νομοθέτης. Ἀμυκλαῖος πόλεμος. Ἀλκαμένης.

ΕΥΡΥΣΘΕΝΕΙ, πρεσβυτέρῳ τῶν Ἀριστοδήμου παίδων ὄντι ἡλικίαν, γενέσθαι λέγουσιν υἱὸν Ἄγιν. Ἀπὸ τούτου δὲ τὸ γένος τὸ Εὐρυσθένους καλοῦσιν Ἀγίδας. Ἐπὶ τούτου Πατρεῖ τῷ Πρευγένους κτίζοντι ἐν Ἀχαΐᾳ πόλιν, ἥντινα Πάτρας καὶ ἐς ἡμᾶς καλοῦσιν ἀπὸ τοῦ Πατρέως τούτου, συνεπελάβοντο Λακεδαιμόνιοι τοῦ οἰκισμοῦ. Συνήραντο δὲ καὶ Γρᾷ [b] τῷ Ἐχελάτου τοῦ Πενθίλου τοῦ Ὀρέστου, στελλομένῳ ναυσὶν ἐς ἀποικίαν. Καὶ ὁ μὲν τὴν τῆς Ἰωνίας μεταξὺ καὶ Μυσῶν, καλουμένην δὲ Αἰολίδα ἐφ' ἡμῶν, καθέξειν ἔμελλεν· ὁ δὲ οἱ πρόγονος Πενθίλος Λέσβον τὴν ὑπὲρ τῆς

[a] Οὐ γάρ τι. [b] Γραΐδι.

contemporains, que le cousin régnât avec le cousin, et que leurs successeurs à une même époque, se trouvassent toujours au même degré de descendance. Je ne mêlerai donc pas l'histoire de ces deux maisons, mais je ferai celle de chacune en particulier.

Chapitre II.

Agis et les Agides. Les Cynuréens. Lycurgue législateur. Guerre d'Amycles. Alcamènes.

Eurysthènes, l'aîné des fils d'Aristodème, fut, à ce qu'on dit, père d'Agis, de qui tous les descendants d'Eurysthènes tiennent le nom d'Agides. Les Lacédémoniens prirent part, sous son règne, à la fondation de Patras, dans l'Achaie, en donnant des secours à Patréus, fils de Preygènes, dont cette ville conserve le nom. Ils en donnèrent aussi à Graïs, fils d'Échélatus, fils de Penthilus, fils d'Orestes, qui conduisit par mer une colonie dans le pays situé entre l'Ionie et la Mysie, qu'on nomme encore l'Eolide. Penthilus, aïeul de Graïs, s'étoit emparé précédemment de Lesbos, île voi-

sine de ce continent. Sous le règne d'Échestratus, fils d'Agis, les Lacédémoniens chassèrent de la Cynurie tout ce qui étoit en âge de porter les armes, sous prétexte, que des brigands qui se retiroient dans ce pays, venoient ravager l'Argolide, qui appartenoit à des Doriens; et que les Cynuréens y faisoient eux-mêmes ouvertement des incursions. Les Cynuréens sont, dit-on, Argiens d'origine, et ils se donnent pour fondateur, Cynurus, fils de Persée. Peu d'années après cette expédition, Labotas, fils d'Echestratus monta sur le trône. Hérodote, en parlant de Crœsus, dit que Labotas, qu'il nomme Léobotès, eut pour tuteur dans son enfance Lycurgue, le législateur. Les Lacédémoniens, sous Labotas, déclarèrent pour la première fois la guerre aux Argiens: ils les accusoient de commettre des ravages dans la Cynurie qu'ils occupoient, et d'exciter à la révolte les peuples circonvoisins, qui leur étoient soumis. Il ne se fit, dit-on, rien de mémorable de part ni d'autre dans cette guerre. Les deux rois de cette maison, qui régnèrent ensuite, Doryssus, fils de Labotas, et Agésilas, fils de Doryssus, moururent l'un et l'autre peu de temps après leur avénement au trône. Ce fut sous le règne d'Agésilas

ἠπείρου ταύτης νῆσον εἶλεν ἔτι πρότερον. Ἐπὶ δὲ Ἐχεστράτου τοῦ Ἄγιδος βασιλεύοντος ἐν Σπάρτῃ Κυνουρέας τοὺς ἐν τῇ ἡλικίᾳ Λακεδαιμόνιοι ποιοῦσιν ἀνασάτους, αἰτίαν ἐπενεγκόντες, ὡς τὴν Ἀργολίδα, συγγενῶν σφισιν ὄντων Ἀργείων, λῃσαί τε ἐκ τῆς Κυνουριακῆς κακουργοῖεν, καὶ αὐτοὶ καταδρομὰς ἐκ τοῦ φανεροῦ ποιοῖντο ἐς τὴν γῆν. Λέγονται δὲ οἱ Κυνουρεῖς Ἀργεῖοι τὸ ἀνέκαθεν εἶναι, καὶ οἰκισήν φασιν αὐτῶν Κύνουρον γενέσθαι τὸν Περσέως. Ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς Λαβώτας ὁ Ἐχεστράτου τὴν ἀρχὴν ἔσχεν ἐν Σπάρτῃ. Τοῦτον τὸν Λαβώταν Ἡρόδοτος ἐν τῷ λόγῳ τῷ ἐς Κροῖσον ὑπὸ Λυκούργου τοῦ θεμένου τοὺς νόμους φησὶν ἐπιτροπευθῆναι παῖδα ὄντα, Λεωβότην δέ οἱ τίθεται τὸ ὄνομα καὶ οὐ Λαβώταν. Λακεδαιμονίοις δὲ πρῶτον τότε ἔδοξεν ἄρασθαι πρὸς Ἀργείους πόλεμον. Ἐποιοῦντο δὲ ἐς αὐτοὺς ἐγκλήματα, τήν τε Κυνουρικὴν ἑλόντων αὐτῶν, ἀποτέμνεσθαι τοὺς Ἀργείους, καὶ τοὺς περιοίκους σφῶν ὑπηκόους ὄντας ἀφισάναι. Τότε μὲν δὴ παρὰ οὐδετέρων πολεμησάντων ὅμως μνήμης ἄξιον πραχθῆναί φασιν οὐδέν. Τοὺς δὲ ἐφεξῆς βασιλεύσαντας τῆς οἰκίας ταύτης Δόρυσσον τὸν Λαβώτα καὶ Ἀγησίλαον Δορύσσου δι' ὀλίγου σφᾶς τὸ χρεὼν ἐπέλαβεν ἀμφοτέρους. Ἔθηκε δὲ καὶ Λυκοῦργος Λακεδαιμονίοις τοὺς νόμους ἐπὶ τῆς